σι. Πάντα κεν ἔχοι᾽ ἄν. καὶ τάδε γὰρ λέγεις καλῶς. ἢ, Πάν-
τα κεν ἔχοι. καὶ ταῦτα γὰρ λέγεις καλῶς. Ἰστέον, πάντα
καλῶς ἂν ἔξοι, καὶ καλῶς χωρήσει, ταῦτα γὰρ σὺ καλῶς
λέγεις. Τί δῆτα.] Ἀλλὰ τί οὖν ὦ Λαμπιτοῖ ὡς τάχιστα
περὶ τούτων, περὶ ταύτης τῆς ἡμῖν βουλῆς ἐξιωμεθμεν, ὅ-
πως ἂν ἀρρήκτως ἔχῃ; Ἀλλὰ τί οὐχ ὡς τάχιστα ταύτῃ τῇ
ἡμῖν καλῇ βουλῇ πίστει, καὶ ὅρκῳ ξυιωμεθα βεβαιθμε-
μεν ὥστε μένειν ἄρρηκτον; Πάρφαινε μάν.] παράφαι-
νε μὴν τὸν ὅρκον ὡς ὀμυμεθα. Δείξον οὖν τὸν ὅρκον, ὃν ἡ-
μᾶς ὀμοῦν δεῖ. ὦ ἡμᾶς ὁρκοῦν ἐθέλεις. πάρφαινε δὴ κατ'
ἀποκοπὴν ποιητικήν. Ποῦ 'σθ' ἡ Σκύθαινα.] τὸ πλῆ-
θος, ποῦ ἐστὶ ἡ Σκύθαινα. τοξότις ὑπηρετὶς, εἴτε θεράπαι-
να. ὄνομα ἀπὸ τοῦ τόπου, ὡς καὶ ἄνω, ἡ Θρᾶττα. Τὰ Ἰο-
μία.] Τὰ τομία, τὰ ἀποτμήματα, καὶ ἀκροθινιάσματα
τῶν νεκρῶν. οἱ δὲ τὰ ἱερά, ἃ σφάζοντες ὀμνύουσι. καὶ οἱ μὲν
τὴν λέξιν παροξυτονοῦσιν. ὡς ἐν τῷ, οἱ δὲ προπαροξυτο-
νοῦσιν, ὡς παρὰ τῷ Εὐσταθίῳ, ὃς λέγει τόμια μὲν, καὶ ἔν-
τομα καλεῖσθαι τὰ τοῖς νεκροῖς σφαγιαζόμενα, τὰ δὲ τοῖς
θεοῖς, ἱερεῖα. οὕτω καὶ μετ' ὀλίγον, ἵππον λαβεῖν, τόμιον
ἐκτεμοιμεθα. ἐνίοτε μέν τοι τόμια καὶ τὰ ἱερεῖα ἁπλῶς
καλοῦμεν, ἅπερ σφάζομεν, εἴτε θεοῖς, εἴτε τοῖς νεκροῖς.
παρὰ δὲ τὸ τέμνειν λέγεται. καὶ σφάγια συνωνύμως κα-
λεῖται. Ὁρκώσεις.] ὅρκος, παρὰ τὸ εἴργω, τὸ συγκλείω
λέγεται. ὅθεν καὶ τὸ ἕρκος. ἢ παρὰ τὸ ὅρος ὅ ἐστιν δεσμός. ὅ-
θεν καὶ τὸ ὁρκοῦν, ὃ δηλοῖ τὸν ὅρκον καταλαμβάνειν, καὶ συγ-
κλείειν, καὶ εἴργειν τὸν ὁρκούμενον. τὰ δὲ ὅπλα τοῖς ὅρκοις σφα-
γέντα ἀθέμιτον εἰς τροφὴν προσιέναι. οἱ δὲ Ἀθη-
ναῖοι πρὸς τὰ ὅρκια τεμεῖν τούτοις ἐχρῶντο, κάπρῳ, κριῷ,
καὶ τράγῳ. Εὐρ. Μηλοσφαγοῦσαι.] μηλοσφαγίαι, ὡς
παρὰ τῷ Σοφοκλεῖ καὶ Ἡσυχίῳ, θυσίαι προβάτων. ὅθεν καὶ
τὸ ῥῆμα μηλοσφαγέω, ῶ. ἀφ' οὗ Μηλοσφαγοῦσαι, ὄνομα
τραγῳδίας τινὸς τοῦ Αἰσχύλου, ὡς τοῦ Αριστοφάνους Εκ-
κλησιάζουσαι. Μὴ σύγ' ὦ Λυσιστράτη.] Η Καλονίκη ἐκ
τῆς Λυσιστράτης ἀποκρίσεως μαθοῦσα εἰς ἀσπίδα δεῖν ὀ-
μόσαι, τῇ τῆς ἀσπίδος μνήμῃ καταπεπληγμένη ὡς ἀναγ-
κίῳ σημείῳ πρὸς τὸ παρὸν τῆς αὐτίκα ποιηθησομένης εἰ-
ρήνης πρᾶγμα, μή, φησιν ἱκετεύω, ὅπερ περὶ τῆς εἰρήνης
λόγους ποιούμεθα, ἡμᾶς εἰς τὴν ἀσπίδα, ὅπλον πολεμι-
κὸν, καὶ τῇ εἰρήνῃ ἐναντίον ὀμόσαι ἀναγκάσῃς. Θάσιον
οἶνον σαμνίον.] καθ' ὑπαλλαγὴν τοῦ τὸ εἰρηνῇ. ἀντὶ τοῦ,
οἶνον Θασίου σαμνίον. ἤγουν ἀμφορέα. σαμνία γὰρ, καὶ
σάμνους, τοὺς ἀμφορεῖς τοῦ οἴνου φασιν. διαφέρει δὲ ὁ Θά-
σιος οἶνος, περὶ οὗ πολλὰ λέγεται ἐν τοῖς Ἀθήναιου Δει-
πνοσοφ. Μὴ 'πιχεῖν ὕδωρ.) παρὰ προσδοκίαν γέλωτος
χάριν τοῦτο λέλεκται, μὴ ὅπερ χεῖν ὕδωρ. οὕτω δὲ καὶ
τὴν γυναικῶν ἀκρατοποσίαν δηλοῖ. Φεῦ δᾶ]
δᾶ, γῆ. Δωρικῶς. ὦ γῆ, ὦ Δήμητερ, φεῦ τοῦ θαυμαστοῦ
ὅρκου, ὃν ἐπαινεῖν λίαν ὀπιθυμῶ. τὸ δὲ ἐπαινῶ, τινὲς
μὲν οἴονται παρὰ τὸ ἐπαινίζειν γίνεσθαι, καὶ ἐν τῷ μέλ-
λοντι ἐπαινῶ, ὡς νομῶ Ἀττικῶς λέγεσθαι. τινὲς τοῦ ἐνε-
στῶτος εἶναι λέγουσι, ὡς τὸ χεζητιάω, χεζητιῶ, ἀντὶ τοῦ χε-
σείω. καὶ ὀπιθυμίαν τοῦ ἐπαινεῖν σημαίνειν. ἀλλ' ὁπωσοῦν
τοῦτο τὸ ῥῆμα σχηματίσεις, σημείωσαι παρὰ τοῖς ἄλλοις
ἐκ ἐν χρήσει εἶναι. βέλτιον δ' ἴσως, καὶ πολὺ πιθανώτερον
εἰ γράψῃς ἐπαινεῖν. ἔπαινος, ἐπαινέω, ῶ, ἐπαινετὸς, ὁ ἐ-
παινοῦ ἄξιος. ὅθεν τὸ ἐπαινετιᾶν, τὸ ἐπαινεῖν ὀπιθυ-
μεῖν. ἔστι δὲ σχηματισμὸς μεγάλου, καὶ ἀξιόπιστον ἀνα-
λογίαν ἔχει πρὸς τὸ χεζητιῶ ῥῆμα ὀπιθυμητικὸν ἐν τῇ
ε' τούτου τοῦ στίχου χώρᾳ εἶναι ἀνάπαιστος, καὶ τοῦ
ἰαμβικοῦ μέτρου νόμον, ὃς ἐν τῇ τελευταίᾳ χώρᾳ, καὶ ἴαμ-
βον, καὶ τρίβραχυν, καὶ ἀνάπαιστον δέχεται, καθάπερ Η-
φαιστίων διδάσκει. τὸ δὲ ἄφαλον, ἀμήχανον, πολὺ, ἄρρη-
τον, ἀμέτρητον, δεινόν. Ἡσυχ.

CHR. Ρυγχάχετον.] Lege ῥυαχάχετον vel potius ῥυάχετον cum Hesychio & Veneta editione, id est, θόρυβον, & συρφετὸν, quasi ῥέοντα ὀχετόν. At pro πλαδδικῶ lego πλαδδεῖν quod est πλησιάζειν. Sunt tamen qui πολεμεῖν aut παραφρονεῖν intelligant, & Hesychius exponit μαλαίζειν & βαρύνεσθαι. Qui, inquit, aliter possumus facere ne Athenienses nos rursum turbatum veniant? Οὐχ' ἁς ἀπουδάς.] Non est quin putem hæc verba aut mendosa esse, aut non suo loco posita, & fortassis ἀπουδάς pro ἀπουδάς legendum est. Καὶ τἀργύριον τὠβυσσον.] Ex antiquis Grammaticis qui apud Sudam, hunc ex his verbis sensum elicio, Quandiu argenti copia abstrusa erit in templo Deæ, nunquam de Pace cogitabunt. Nam in Acropoli deposita erant millia talentûm. Mox ait abyssum, locum esse sacrum Proserpinæ vbi magna auri copia ex omni tempore asseruetur, χρυσὸς inquit ἄβυσσος, id est, ἀόρατος & ἄθικτος, quia in terra altè defossum. Σκυτιθώμεθα.] In Veneta editione melius σκυτιζώμεθα, quod tamen quid hic sibi velit nescio, nam Grammatici σκυθίζειν exponunt παραπέμπειν. Fortassis autem hic versus transferendus ante illum τἀργύριον. Quid si verò legamus σκύτη θώμεθα, duabus vocibus, vt sit donec has pelles deponamus, vel potius scuta induamus, quia sequitur ἀσπίδα. Nisi σκυτιζώμεθα sit apparere, metaphora sumpta à Scythis Liturgis & seruis apparitoribúsque publicis, vt postea ἡ σκύθαινα est ὑπηρέτις. Πάντα κ' ἔχοι κἀτάδε.] Pro πάντα dicit πάντα Doricè, & τάδε pro τῆδε, id est ὧδε. Paulo pòst lego distinctè ἄν' ἀρρήκτως. Τὰ τομία.] Sacræ sunt victimæ ad quarum mactationem iusiurandum fieri solebat, Sic vsus est Dionys. Halicarnasseus lib. 7. Histor. Εν Αἰσχύλου πόλει] Locus est in Septem-Thebana Tragœdia ταυροσφαγοῦντες εἰς μελάνδετον σάκος, id est vt olim vertebamus, Clypeo super nigrante mactantes bouem. Φεῦ δὰ τὸν ὅρκον.] Malè in Germanica editione hic apposita est persona Calonicæ, quum loquatur Lampito, & verba meram Spartam oleant ex Dialecto Dorica.

BISETVS. Ὦ φίλταται γυναῖκες κεραμέων ὄχλος] τοῦ νοῦ, καὶ μέτρου χάριν ἔστι ὁ στίχος οὕτω διορθωθέος,

Ὦ φίλταται γυναῖκες ἐκ κεράμων ὄχλος!

ἐκ τῆς προειρημένων ἔστω δῆλον. ἡ γὰρ Καλονίκη εἰρήκει,

Φερέτω κύλικά τις ἔνδοθεν τὸν σαμνίον.

ἡ δὲ Λυσιστράτη τὸν τῶν ἀγγείων παράδοξον μέγεθος ἰδοῦσα, καὶ θαυμάσασα οὕτως ἀναβοᾷ, ὦ φίλταται γυναῖκες. καὶ τὰ ἑξῆς. Ἰστέον δὲ αὐτὴν ἡ ἔννοια, ὦ φίλταται γυναῖκες φεῦ τοῦ μεγέθους τοῦ κύλικος. ἐκ πάσης τῆς κεραμέων σκευῆς ὡς δεκτικὸν τόδε τὸ κεραμικὸν ἄγγος τὸ νῦν προσενεχθέν! τὸν γὰρ ὄχλος κυρίως οὐ πρὸς τὴν ἀριθμὸν, ἀλλὰ πρὸς τὴν ποιότητα, καὶ μέγεθος ἀναφέρεται, καὶ ὡς ὅπερ τὸ πλεῖστον μὴ θαυμασμοῦ, ὅθεν ἐν Βατράχοις,

Ὦ Ζεῦ βασιλεῦ τὸ χρῆμα τῆς κώπης ὅσον!

καὶ ἐν Νεφέλαις,

Ὦ Ζεῦ βασιλεῦ τὸ χρῆμα τῆς νυκτὸς ὅσον

Ἀπέρατον!

κέραμος δὲ, ὥς φησι Πολυδεύκης, καλεῖται πᾶσα ἡ τῆς κεραμέων ἀγγείων ὕλη. Προσλαβοῦ μοι τὸν κάπρον.] μικρῷ πρότερον εἴρηται ὅτι οἱ Ἀθηναῖοι πρὸς τὰ ὅρκια τεμεῖν τούτοις ἐχρῶντο, κάπρῳ, κριῷ, καὶ τράγῳ. νῦν δὲ ἡ Λυσιστράτη παίζει, περὶ σαμνίου, ἡ κύλικος, ὡς περὶ

κάπρου